χρῆμα Σχολὴν, Μουσεῖον καὶ Μουσῶν τέμενος καὶ μουσοτρόφων ἀνδρῶν ἐνδιαίτημα. Πρόκειται δὲ ἡμῖν κοινῶς σπουδὴ, καὶ σκοπός ...... α ..... · προσεκθεῖναι περὶ τῆς διοικήσεως αὐτῆς, οὐχ ὡς ..... τὸ πρῶτον ἐκεῖνο σιγγίλιον, καὶ τὴν ἐν ἐκείνῳ τῶν εἰς τὴν σχολὴν ἀφιερωσάντων βούλησιν, ἀλλ' ὡς καὶ ἀνανεουμένοις μάλιστα τὰ πρὸς τὴν ἐπίδοσιν τῶν μαθητῶν, ......, ὅσα ἀπὸ τῶν ὕστερον συμβάντων τῇ σχολῇ ἀναγκαῖα ἡμῖν ἀνεφάνη.

Α') μὲν οὖν ἔστωσαν ἔφοροι τῆς σχολῆς ὁ ἀεὶ οἰκουμενικὸς πατριάρχης τε καὶ ὁ μέγας διερμηνεὺς τῆς κραταιᾶς Βασιλείας καὶ ὁ ἐκλαμπρότατος καὶ περίβλεπτος βεηζαδὲς κύριος Δημήτριος Μουρούζης, ὡς φιλόμουσος καὶ φιλογενὴς, καί ......... καὶ ἀντιλήπτωρ αὐτῆς τῆς σχολῆς, καὶ ὁ πανευγενέστατος ἄρχ......... μέγας λογοθέτης κύριος Ἀλέξανδρος........, οὐ μόνον ὡς φιλόκαλος καὶ ἐνθέρμῳ ζήλῳ πρὸς ἐκτέλεσιν καὶ σύστασιν, τῶν κοινῇ ὠφελίμων προτιμώμενος, ἀλλὰ καί ... μέγας λογοθέτης τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, οὗτινος ὀφφικίου τοὺς ἀεὶ κατόχους μετὰ τῶν ἀνωτέρω ἐφορεύειν τῆς Σχολῆς εἰκότως ἐγκέκριται. Ἐπίτροποι δὲ ἐκ τῆς ἁγίας καὶ ἱερᾶς συνόδου ἀρχιερεῖς οἱ ἱερώτατοι μητροπολῖται ὅ τε Κυζίκου, ὑπέρτιμος καὶ ἔξαρχος παντὸς Ἑλλησπόντου κὺρ Ἰωακεὶμ, ὡς διαπρέψας πάλαι ἐν αὐτῇ τῇ Σχολῇ καὶ κοσμήτωρ αὐτῆς φανεὶς, ὡς οὐκ ἄλλον· ὁ Δέρκων, ὑπέρτιμος καὶ ἔξαρχος Βοσπόρου Θρᾳκικοῦ καὶ Κυανέων κύριος Γρηγόριος, ὡς Μουσῶν τρόφιμοι ἀμφότεροι καὶ περὶ τὰ μαθήματα διαπρέψαντες, ἔτι δὲ καὶ ζῆλον διακαῆ περὶ τὰ κοινὰ καλὰ ἀείποτε ἐπιδεδειγμένοι, καὶ δύο ἄρχοντες ἐκ τῆς πανευμενοῦς χορείας, ὅ τε εὐγενέστατος ἄρχων ... καὶ ὁ εὐγενέστατος ἄρχων ..... κύριος Δημήτριος Σχινᾶς, οἱ φιλόλογοι καὶ τῶν Μουσῶν θιασῶται, καὶ τῶν καλῶν ζηλωταί,